Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tyc-by

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# Zosimus' Practice B

*Ζωσίμου πρᾶξις β´*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

Ζωσίμου πρᾶξις β′ Μόλις ποτὲ εἰς ἐπιθυμίαν ἐλθὼν τοῦ ἀναβῆναι τὰς ἑπτὰ κλίμακας καὶ θεάσασθαι τὰς ἑπτὰ κολάσεις καὶ δὴ ὡς ἔχει ἐν μιᾷ τῶν ἡμερῶν ἤνυσα τὴν ὁδὸν τοῦ ἀναβῆναι. Διελθὼν δὲ πολλάκις ἀνῆλθον ἔπειτα εἰς τὴν ὁδὸν καὶ δὴ ἐν τῷ ἐπανέρχεσθαί με, ἀπέτυχον πάσης ὁδοῦ. Καὶ ἐν ἀθυμίᾳ πολλῇ γενόμενος, μὴ ἰδόντος μου πόθεν ἀπελθεῖν, ἀθυμοῦντος δέ μου, ἐτράπην εἰς ὕπνον. Καὶ θεωρῶ κατὰ τοῦ ὕπνου μου ξυρουργόν τινα ἀνθρωπάριον ἠμφιεσμένον στολὴν ἐρυθρὰν καὶ βασιλικὴν ἐσθῆτα καὶ ἱστάμενον ἔξω τῶν κολάσεων. Καὶ λέγει μοι· «Τί ποιεῖς, ἄνθρωπε;». Ἐγὼ δὲ πρὸς αὐτὸν ἔφην· «Ἵσταμαι ὧδε ὅτι πάσης ὁδοῦ ἀστοχήσας ὑπάρχω πλανώμενος». Ὁ δὲ λέγει μοι· «Ἀκολούθει μοι». Ὧδε ἐξῆλθον, ἠκολούθουν αὐτῷ· πλησίον δὲ γενόμενος τῶν κολάσεων, θεωρῶ τὸν ὁδηγοῦντά με ἐκεῖνον ξυρουργὸν ἀνθρωπάριον· καὶ ἰδοὺ ἐνεβλήθη ἐν τῇ κολάσει καὶ ὅλον αὐτοῦ τὸ σῶμα ἐδαπανήθη ὑπὸ τοῦ πυρός. Ἰδὼν ἐγὼ ἐξέστην καὶ ἐτρόμαξα ἀπὸ τοῦ φόβου καὶ διυπνίσθην καὶ λέγω ἐν ἑαυτῷ· «Ἆρα τί ἐστι τὸ ὁρώμενον;». Καὶ πάλιν διεσά φησα τὸν λόγον καὶ διακρίνων ὅτι ὁ ξυρουργὸς ἐκεῖνος ἄνθρωπος ὁ χαλκάνθρωπός ἐστιν ἔχων ἐρυθρὰν ἐσθῆτα ἐνδεδυμένος, καὶ εἶπον· «Καλῶς ἐπενόησα· οὗτός ἐστιν ὁ χαλκάνθρωπος· δεῖ δὲ πρῶτον ἐμβαλεῖν αὐτὸν εἰς τὰς κολάσεις».

Πάλιν ἐπεθύμησεν ἡ ψυχή μου τοῦ ἀναβῆναι καὶ τὴν τρίτην κλίμακα καὶ πάλιν μόνος τὴν ὁδὸν ἐπορευόμην. Καὶ ὡς ἐγενόμην τῶν κολάσεων πλησίον, πάλιν ἐπλανήθην μὴ εἰδὼς τὴν ὁδὸν ἱστάμενος ἀπονενοημένος. Καὶ πάλιν τῷ ὁμοίῳ τρόπῳ θεωρῶ πεπολιωμένον γηραιὸν λευκὸν πάνυ ὥστε ἐκ τῆς πολλῆς λευκότητος αὐτοῦ οἱ ὀφθαλμοὶ ἀπημαυρώθησαν. Τὸ δὲ ὄνομα αὐτοῦ ἐκαλεῖτο Ἀγαθοδαίμων. Καὶ στραφεὶς ὁ πεπολιωμένος ἐκεῖνος θεωρεῖ με ἐπὶ πλείστην ὥραν. Ἐγὼ δὲ τοῦτον ἐπεμελούμην δεῖξαί μοι εὐθεῖαν ὁδόν. Ὁ δὲ πρός με οὐκ ἀνεστράφη, ἀλλ' ἤνυσεν τὴν ὁδὸν αὐτοῦ σπουδαίως καὶ διερχόμενος δὲ ἔνθεν κἀκεῖθεν. Ἤνυον σπουδαίως τὸν βωμόν· ὡς οὖν ἤνυσα ἄνω ἐπὶ τοῦ βωμοῦ, θεωρῶ τὸν πεπολιωμένον γηραιὸν καὶ ἐνεβλήθη ἐν τῇ κολάσει. Ὦ οὐρανίων φύσεων δημιουργοί, εὐθὺς ὅλος ὑπὸ τῆς φλο γὸς πυρίφλεκτος γέγονεν, ὢν καὶ τὸ διήγημα, ἀδελφοί, φρικτόν· ἐκ γὰρ τῆς πολλῆς βίας τῆς κολάσεως οἱ ὀφθαλμοὶ αὐτοῦ πληρεῖς αἱμάτων γεγόνασιν. Ἐπηρώτησα δὲ λέγων αὐτόν· «Τί ἐνταῦθα κατάκεισαι;». Ὁ δὲ μόλις ἀνοίξας τὸ στόμα αὐτοῦ ἔφη μοι· «Ἐγώ εἰμι ὁ μολυβδάνθρωπος καὶ βίαν ὑπομένω ἀφόρητον». Καὶ οὕτως ἐκ πολλοῦ φόβου διυπνίσθην καὶ ἐν ἐμοὶ τὴν αἰτίαν

ἠρεύνουν τοῦ πράγματος. Καὶ πάλιν διέκρινα καθ’ ἑαυτὸν καὶ εἶπον· «Καλῶς ἐπενόησα ὅτι οὕτως δεῖ ἐκβαλεῖν τὸν μόλυβδον». [Καὶ ἀληθῶς τὸ ὅραμά ἐστιν περὶ συνθέσεως τῶν ὑγρῶν.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org